I. 1. καθὼς ἐκεῖνος περιεπάτησεν. 甲 2. ἔγραψα ὑμῖν, παιδία, ὅτι γινώσκετε τὸν πατέρα. 3. ἠκούσατε ὅτι ἡ ἐσχάτη ὥρα ἔρχεται. 4. καὶ οὐκ οἶδε ποῦ (何處) ὑπάγει ὅτι ἡ σκοτία ἐτύφλωσε τοὺς ὀφθαλμοὺς αὐτοῦ. 5. εἰς τὰ ἴδια ἦλθεν καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. 6. αὐτὸς ἠγάπησεν ἡμᾶς. 7. ὃ ἐθεασάμεθα ἀπαγγέλλομεν καὶ ὑμῖν. 8. περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψεν. 9. ἐθεάσαντο ἃ ἐποίησεν καὶ ἐπίστευσαν εἰς αὐτόν. 10. Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν. 11. οὗτός ἐστιν ὑπὲρ οὗ εἶπον. 12. ἐν τῷ κόσμῳ ἦν καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο. 13. ἡ γυνὴ εἶπεν Οὐκ ἔχω ἄνδρα. 14. καὶ ἐν τῷ ἀλλοτρίῳ πιστοὶ οὐκ ἐγένεσθε.

甲 περί, πρό, 二助格字, 於往昔號前, 勿澄除其尾元音.

II. 1. 彼等已問之矣. 2. 彼等已去矣, 並見其居於何處. (ποῦ, I4) 3. 道已成肉矣. 4. 彼已承認矣, 曰 (ὅτι) 己爲基督. 5. 彼已作證曰, 見彼靈矣. 6. 彼已遣彼等矣, 因欲 (ἵνα) 彼等宣講神之國. 7. 且在彼諸日已成矣. 8. 且我已見矣, 我已聞矣.

第二十一課

懸擬已往式一式二 (*First and Second Aorist Subjunctive*).

151. 語集

ἀληθινός,	純眞的	διάνοιᾱ, ἡ,	心性, 思想
ἄνεμος, ὁ,	風	ἐκεῖ, [助動],	在彼處
ἀνοίγω,	開	ἐντεῦθεν, [助動],	自彼處
ἀπο-κτείνω,	殺	ἐπεί, [助讀],	旣, 其時
ἀπο-λύω,	釋, 放	ἐπερωτάω,	問
ἄρτι, [助動],	方, 頃	ἐπιθυμία, ἡ,	願望, 情欲
ἀσθενέω,	爲病者	ἰσχυρός,	強健的, 有能的
βίος, ὁ,	生命	ὅπου, [助動],	在何處
διάβολος, ὁ,	魔, 鬼	φόβος, ὁ,	恐懼

χρείᾱ, ἡ, 缺點

152. Λύω 之懸擬已往, 開列於下.

	主動	關身
單 一身	λύ-σ-ω	λύ-σ-ω-μαι
單 二身	λύ-σ-η-s	λύ-σ-ῇ (原爲 λύ-σ-η-σαι)
單 三身	λύ-σ-η	λύ-σ-η-ται
多 一身	λύ-σ-ω-μεν	λυ-σ-ώ-μεθα
多 二身	λύ-σ-η-τε	λύ-σ-η-σθε
多 三身	λύ-σ-ω-σι	λύ-σ-ω-νται

153. 注意

(1) 懸擬無往昔號.

(2) 時體號仍爲 -σ.

(3) 身尾號與今恆懸擬同, 見 84.

(4) 懸擬已往之時體根 λυσ- 與指實已往同, 見 141, 其調和法, 亦與指實無異, 見 120-124.

154. 試書以下各字懸擬已往之全式.

ποιέω (作), *γράφω* (寫), *ἄγω* (導), *πέμπω* (遣), *φανερόω* (使之顯), *πείθω* (勸導), *ἄρχομαι* (初行), *δέχομαι* (接).

155. Βάλλω (字根 *βαλ-*) 之懸擬已往式二, 開列於下.

	主動		關身	
單	一身	*βάλ-ω*	單 一身	*βάλ-ω-μαι*
	二身	*βάλ-ῃς*	二身	*βάλ-ῃ* (原爲 *βάλ-η-σαι*)
	三身	*βάλ-ῃ*	三身	*βάλ-η-ται*
多	一身	*βάλ-ω-μεν*	多 一身	*βαλ-ώμεθα*
	二身	*βάλ-η-τε*	二身	*βάλ-η-σθε*
	三身	*βάλ-ω-σι*	三身	*βάλ-ω-νται*

156. 留心已往式二之懸擬與指實, 其體變之例相同, 見 146-147.

157. 以下各字皆指實已往式二, 試書其懸擬全式, 且懸擬無往昔號, 須切記之, 見 153_1.

指實		懸擬
ἦλθ-ον	(我已來)	*ἔλ-θω*
εἶδ-ον	(我已見)	*ἴδ-ω*
ἐγεν-όμην	(我已成爲)	*γέν-ωμαι*

158. πιστεύωμεν εἰς αὐτόν, 我儕信彼哉.
πιστεύσωμεν εἰς αὐτόν, 我儕信彼哉.

以上二句, 一爲今恆, 一爲已往, 其譯詞雖同, 而用意各別, 今恆者, 恆常繼續之謂, 已往者, 一時一次之稱, 且首句含長久信仰之意, 次句則謂先無信心, 而後定志信仰也.

159. 凡句讀首字有 ἵνα (俾) 或 ἐάν (若) 者, 其動字必歸懸擬情體, 或用今恆, 或用已往, 按 158 之例, 由此觀之, 已往懸擬絕無往昔時體之用意, 但以母句之動字而論, 有當時或將來之用意也.

160. 兼狀已往式二之情尾號，與今恆同，卽 -ων, -μενος，見 90, 99，惟主動之重音號，須書於絡音上，如 ὁ ἐλθών (彼來者), ὁ ἰδών (彼見者), ὁ εἰπών (彼言者), ὁ ἀπο-θανών (彼死者), ὁ λαβών (彼受者), ὁ γενόμενος (彼成爲者).

161. 兼名已往式二之情尾號，亦與今恆同，卽 -ειν,-σθαι，見 89, 98，然主動書 (ˆ) 重音號於尾綴音之上，關身則書 (´) 重音號於次綴音之上，如 ἐλθεῖν (來), ἰδεῖν (見), εἰπεῖν (言), ἀπο-θανεῖν (死), λαβεῖν (受), γενέσθαι (成爲).

162. 習課

1. ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν. 2. καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ ἵνα πιστεύσωμεν τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ, Ἰησοῦ Χριστοῦ. 3. οὗτος ἦλθε εἰς μαρτυρίαν ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτὸς ἵνα πάντες (衆人) πιστεύσωσιν δι' αὐτοῦ. 4. ἄγωμεν καὶ ἡμεῖς ἵνα ἀποθάνωμεν μετ' αὐτοῦ. 5. ἐλθὼν οὖν ὁ Ἰησοῦς εὗρεν αὐτόν. 6. οὐκ ἦν ἐκεῖνος τὸ φῶς ἀλλ' ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. 7. ἐτύφλωσεν αὐτῶν τοὺς ὀφθαλμοὺς ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλμοῖς. 8. Λάζαρος 甲 ἀπέθανεν καὶ χαίρω (悅) δι' ὑμᾶς ἵνα πιστεύσητε ὅτι οὐκ ἤμην 乙 ἐκεῖ. 9. ἐγὼ οὐκ ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν. 10. ἦλθε ὁ υἱὸς τοῦ θεοῦ ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου. 11. ἡ ἐπθυμία τῆς σαρκὸς καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν καὶ ἡ ἀλαζονία (驕矜) τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ πατρός, ἀλλὰ ἐκ τοῦ κόσμου ἐστίν. καὶ ὁ κόσμος παράγεται (逝) καὶ ἡ ἐπιθυμία αὐτοῦ, ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ θεοῦ μένει εἰς τὸν αἰῶνα.

甲 習認字母之大書法，§ 1.

乙 參 § 93 註甲.

第二十二課

格變式三之違例狀字 (*Irregular Adjectives of the Third Declension*).

163. 語集

ἀγοράζω, 買
ἀδύνατος, 不能的
ἀκάθαρτος, 不潔的
ἁμαρτωλός, ὁ, 罪人
ἅπας, 一切的
βιβλίον, τό, 書, 經
βούλομαι, 立意,願
ἐλεύθερος, 自由的
μέγας, 大的
ὅτε, [助讀], 當時, 其時
οὐδέ, 亦不, 大抵接上文之 οὐ 或 οὐδέ
οὔτε, 亦無, 亦不, 用之則有非此非彼之意
παρά, [助格], (屬) 自, 由 (於) 同居,近 (向) 向
πᾶς, 凡, 衆
πολύς, 多的
σπείρω, 播種
ψεύστης, ὁ, 言謊者

164. 習讀 §41, πολύς (多的), μέγας (大的) 二狀字之全式.

注意

(1) 此二狀字字根有二, 一長一短,長者在格變式中常用之.

(2) 其格變式, 大抵仿照格變式一二.

165. 習讀 § 40, πᾶς 之全式.

注意

(1) 陽罔二性照格變式三, 陰性照格變式一.

(2) 字根爲 παντ,- 主單陽加 ς, 其調和法如促音之字, 見 127(2). 主單陰加 -σα.

(3) 消除 ντ- 於主單之 ς 前, 與於多之 σι 前, 見 132.

(4) 單數陽罔二性之重音號, 按照式三字根 爲單綴音之字, 見 108, 惟多數則違此例.

166. 習課

I. 1. πάντα δὶ αὐτοῦ ἐγένετο 甲. 2. ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις. 3. μεγάλη 乙 σου ἡ πίστις. 4. καὶ ἐγένετο φόβος μέγας ἐπὶ 丙 πάντας. 5. πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει 丙. 6. μετὰ ταῦτα ἤκουσα φωνὴν μεγάλην ὄχλου πολλοῦ. 7. ἔσται γὰρ θλίψις μεγάλη. 8. πάντες ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας. 9. καὶ πολὺ πλῆθος ἀπὸ τῆς Γαλιλαίας ἠκουλούθησεν. 10. τὸ αἷμα Ἰησοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. 11. ἔτι πολλὰ ἔχω ὑμῖν λέγειν. 12. ταύτην τὴν ἐντολὴν ἔλαβον παρὰ τοῦ πατρός μου. 13. οὔτε ἐμὲ οἴδατε οὔτε τὸν πατέρα μου.

甲 見 43, I. 甲

乙 謂語之位 見 64.

丙 見 167, 語集中

第二十三課

主動被動指實之今成 (*Perfect Indicative Active and Passive*),

167. 語集

ἀληθῶς, [助動], 誠然	ἥλιος, ὁ, 日
ἁμαρτάνω, 犯罪	ὅθεν, [助動], 由是, 從此
ἀναβαίνω, 上行	οὕτω, [助動], 甲, 如此
ἄνωθεν, [助動], 自上	ποῦ, [助動], 在何處
διαθήκη, ἡ, 遺命, 約	σφάζω, 殺
ἑορτή, ἡ, 節	τελειόω, 使之完全, 至終
ἔξω, [助動, 助格], (屬)在外	φιλέω, 喜愛
ἐπί, [助格], (屬)在其上 (向) 至, 在上	φίλος, ὁ, 友
	ψεύδομαι, 說謊
	ὡς, [助讀], 大概, 約

註

甲 若後字首字母爲元音, 則書 οὕτως, 參 § 9(3).

168. Λύω 之指實今成開列於下.

	主動		被動與關身 甲	
單	一身 λέ-λυ-κα,	我今解成矣	λέ-λυ-μαι,	我今被解成矣
	二身 λέ-λυ-κα-ς,	你今解成矣	λέ-λυ-σαι,	你今被解成矣
	三身 λέ-λυ-κε,	他今解成矣	λέ-λυ-ται,	他今被解成矣
多	一身 λε-λύ-κα-μεν,	我們今解成矣	λε-λύ-μεθα,	我們今被解成矣
	二身 λε-λύ-κα-τε,	你們今解成矣	λέ-λυ-σθε,	你們今被解成矣
	三身 λε-λύ-κα-σι,	他們今解成矣	λέ-λυ-νται,	他們今被解成矣

甲 關身之用意, 參 § 59 註甲, 今成之關身被動, 其式相同.

注意

(1) 加 -κα 時體號於字根後，惟主動三身單改爲 -κε.

(2) 主動三身多有 -σι，可知其體變式用今將時體之身尾號，參 § 71，雖其單數似非今將之身尾號，與已往相同，然仔細考之，實爲今將之身尾號也.

(3) 字根前有 ε，亦有字根之首字母在 ε 前，此謂之成時號，參 § 69(1) (2).

(4) 被動今成有成時號，其身尾號卽被動今將之身尾號，直加於字根後，且須留心其無絡音.

170.

今恆		今成
νικά-ω	(勝)	主動 νε-νίκη-κα
πιστεύ-ω	(信)	主動 πε-πίστευ-κα
ἀγαπά-ω	(愛)	主動 ἠγάπη-κα
αἰτέ-ω	(求)	主動 ᾔτη-κα 甲
τελείο-ω	(成全)	被動 τε-τελείω-μαι
γεννά-ω	(生子)	被動 γε-γέννη-μαι

以上數字，發明今成時體之體變法，留心字根尾之短元音，在 -κα 或 -μαι 前必長之，若首字母爲元音或雙音，則其成時號之書法與往昔號同，參 § 69(4).

甲 往昔號之書法，見 36(2).

171. 今成時體，特別之體變式甚多，不易領會，學者隨後查考文法，及希文字典可也.

171. 習認以下所列今成違例之三字.

ἀκού-ω	(聞)	今成式二	ἀκ-ήκο-α, 見 172
γινώσκ-ω	(知)	今成	ἔ-γνω-κα.
ὁρά-ω	(見)	今成	ἑ-ώρα-κα.

172. 有少數字其今成體變式, 僅加身尾號而無 κ 者, 如 γίνομαι (成爲) 其今成爲 γέ-γον-α, ἔρχομαι (來) 其今成爲 ἐλ-ήλυθ-α, 此謂之今成式.二

173. 習課

1. καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτόν. 2. οἴδαμεν ὅτι ἔχομεν ἃ ᾐτήκαμεν ἀπ' αὐτοῦ. 3. ταῦτα λελάληκα ὑμῖν. 4. πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην ἐξ αὐτοῦ γεγέννηται. 5. καὶ ἡμεῖς πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ θεὸς ἐν ὑμῖν. 6. αὕτη δέ ἐστιν ἡ κρίσις ὅτι τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον. 7. τὰ ῥήματα ἃ ἐγὼ λελάληκα ὑμῖν πνεῦμά ἐστιν καὶ ζωή ἐστιν. 8. ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν ἀπαγγέλλομεν καὶ ὑμῖν. 9. ἐν τούτῳ ἡ ἀγάπη τοῦ θεοῦ τετελείωται. 10. γράφω ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε αὐτὸν ἀπ' ἀρχῆς. 11. ἐν τούτῳ ἐστίν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήκαμεν τὸν θεόν, ἀλλ' ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς. 12. αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε καὶ πεπιστεύκατε ὅτι ἐγὼ παρὰ τοῦ πατρὸς ἐξῆλθον. 13. ψεύστην πεποίηκε αὐτὸν ὅτι οὐ πεπίστευκεν εἰς τὴν μαρτυρίαν ἣν μεμαρτύρηκεν ὁ θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ.

第二十四課

被動已往指實與懸擬 *Aorist Passive Indicative and Subjunctive*).

174. 語集

ἀνα-γινώσκω,	讀	λυπέω,	使之憂
αὔριον, [助動],	翌	πάσχα, τό,	逾越節
βλασφημέω,	詈罵, 訕謗	πόθεν, [助動],	自何處, 奚自
γενεά, ἡ,	宗族, 世代	πρωί [助動],	晨, 早
διδαχή, ἡ,	所教之道	σοφός,	有智慧的
ἐγγύς, [助動],	近	σταυρόω,	釘於十架
ἰάομαι,	醫	ὑπό, [助格],	(屬向), 在下
κελεύω,	吩咐	φωνέω,	作聲, 呼

175. Λύω 之被動已往開列於下.

	指實	懸擬
單 一身	ἐ-λύ-θη-ν, 我已被解	λυ-θῶ
單 二身	ἐ-λύ-θη-ς, 你已被解	λυ-θῇς
單 三身	ἐ-λύ-θη, 他已被解	λυ-θῇ
多 一身	ἐ-λύ-θη-μεν, 我們已被解	λυ-θῶ-μεν
多 二身	ἐ-λύ-θη-τε, 你們已被解	λυ-θῆ-τε
多 三身	ἐ-λύ-θη-σαν, 他們已被解	λυ-θῶ-σι

176. 注意

(1) 被動已往之時體號爲 -θε, 其指實長 ε 而爲 θη, 又懸擬之 ε 與身尾號 (-ω, -ῃς, 等) 縮寫, 參 § 5.

(2) 被動已往指實之身尾號, 竟用主動往昔之身尾號, 此爲特別之體變式, 其懸擬亦有主動之身尾號, 參 § 71, § 72 甲.

177. 字根尾之短元音，於 -θε 前則長之，如 ποιέω (作) 之 ἐποιήθην, φανερόω (使之顯) 之 ἐφανερώθην, 較 120.

178. 字根尾之促音，照 § 6(1) 之例，在 -θε 前卽變爲同類，如 ἄγω (導) 之 ἤχ-θην, 惟舌音大抵改爲 σ, 如 πείθω (勸導) 之 ἐπείσ-θην, 參 § 6(2).

κ γ χ + θε = χθε
π β φ + θε = φθε
τ δ θ + θε = σθε

179. 重讀第十二課所論之動字，其已往有用關身體變式者，稱爲關身態體含主動意之字，如 γίνομαι (成爲) 之 ἐγενό-μην, 亦有用被動已往體變式者，稱爲被動態體含主動意之字，如 πορεύομαι (往) 之 ἐπορεύθην, ἀπο-κρίνομαι (答) 之 ἀπ-εκρίθην.

180. 有少數字其被動已往時體號無 θ, 僅加 ε, 如 γράφω (寫) 之被動已往爲 ἐγράφην, 此謂之被動已往式二，其體變式與式一無異，參 § 80, φαίνω 被動已往式二之式.

181. 習課

1. καὶ ἡ ζωὴ ἐν αὐτῷ ἐφανερώθη. 2. καὶ ἀπεκρίθησαν οἱ μαθηταὶ αὐτοῦ. 3. καὶ ἐξελθὼν ἐπορεύθη εἰς ἕτερον τόπον. 4. ὅτι ἐγγὺς ἦν ὁ τόπος τῆς πόλεως ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς. 5. ἐὰν δὲ πορευθῶ, πέμψω αὐτὸν πρὸς ὑμᾶς. 6. οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματος σαρκὸς οὐδὲ ἐκ θελήματος ἀνδρὸς ἀλλ' ἐκ θεοῦ ἐγεννήθησαν. 7. εἰς (爲) τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ θεοῦ ἵνα λύσῃ τὰ ἔργα διαβόλου. 8. οἴδαμεν ὅτι ἐὰν αὐτὸς φανερωθῇ ὅμοιοι (相同) αὐτῷ ἐσόμεθα. 9. ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπεν αὐτοῖς Τοῦτό ἐστι τὸ ἔργον τοῦ θεοῦ. 10. οἶδα πόθεν ἔρχομαι καὶ ποῦ ὑπάγω· ὑμεῖς δὲ οὐκ οἴδατε πόθεν ἔρχομαι ἢ ποῦ ὑπάγω.

第二十五課

兼狀情體 (*Participles*).

182 語集

ἀρνίον, τό, 羔
δυνατός, 能的, 可行的
ἐκλεκτός, 被選的, 優秀的
ἕνεκα, [助格], (屬), 爲, 因
ἐπαύριον, [助動], 翌, 次日
εὐχαριστέω, 感恩, 祝福
κώμη, ἡ, 村
λογίζομαι, 籌思, 算爲
μικρός, 小的
πάντοτε, [助動], 時時, 常
πλανάω, 誘, 哄
πρό, [助格], (屬), 先於, 前
τελέω, 完竣, 完結
τοιοῦτος, 如此種類
χωρίς, [助格], (屬), 捨, 除

183. Εἰμί (是) 之今恆兼狀, 開列於下.

	單			多		
	陽	陰	罔	陽	陰	罔
主	ὤν	οὖ-σᾰ	ὄν	ὄντ-ες	οὖ-σαι	ὄντ-ᾰ
屬	ὄντ-ος	οὔ-σης	ὄντ-ος	ὄντ-ων	οὔ-σων	ὄντ-ων
於	ὄντ-ι	οὔ-σῃ	ὄντ-ι	οὖ-σι	οὔ-σαις	οὖ-σι
向	ὄντ-ᾰ	οὖ-σᾰν	ὄν	ὄντ-ᾰς	οὔ-σᾱς	ὄντ-ᾰ

184. 注意

(1) 兼狀情體有三性二數, 與狀字同, 其式見 165, πᾶς.

(2) 字根 ὀντ- 在主單陽, 照 § 6(12) 之例, 消除 τ 而長 ο 爲 ω, 主單陰加 -σᾰ 於字根格尾號之後 (ὀντ-σᾰ), 且照 § 6(5)丁 之例, 消除 -ντ 而長 ο 爲 ου, 主單罔亦消除 τ, 然 ο 勿變長.

185. 習讀 § 42(1) λύω 主動今恆之兼狀，并留心此種動字之主動今恆兼狀，即字根加 εἰμί 之兼狀情體.

試書 ἀκούω (聞), λέγω (言), κρίνω (審判), γινώσκω (知)，各字之主動今恆兼狀主單陽之式.

註

兼狀之重音號，大抵照動字書重音號之例推置於前，惟他格按狀字書重音號之例.

186. 主動已往式二兼狀之格變式，與今恆同，見 160.

187. 兼狀之各時尾號與指實同.

	將來	已往	今成
主動	-σ-	-σα-	-κ-
關身	-σ-	-σα-	無時體號但書重音號
被動	-θησ-	-θε-	於次綴音上 (-μένος)

字根在時體號前之各變化法，見 124, 178.

188. 習讀 § 42(2)(4) λύω 已往主動與被動之兼狀，其主格單數各式，與今恆同例，被動之 λυθείς 原爲 λυθέντς，而 ε 變長爲 ει，見 165, 3, 其重音號違例，書於尾綴音上.

189. 除被動已往之外，關身被動之各兼狀情體，皆有 -μενος，其格變式，參 § 43.

	今恆	將來	已往	今成
關身	λυ-ό-μενος	λυ-σ-ό-μενος	λυ-σά-μενος	λε-λυ-μένος
被動	λυ-ό-μενος	λυ-θη-σό-μενος	λυ-θείς	λε-λυ-μένος

190. 研究以下各句.

1. ἀποκριθεὶς ταῦτα ἀπῆλθεν. 答此言後, 彼卽去矣, 或譯爲旣答此言, 彼卽去矣.

2. πορευόμενοι δὲ ἡμεῖς ἐκηρύσσομεν. 我儕行之時傳道, 或譯爲且行且傳道.

3. ἰδὼν δὲ ταῦτα ἐθαύμαζεν. 彼見此等事卽異矣, 或譯爲彼見此等事之時卽異矣, 或譯爲彼因見此等事卽異矣.

191. 注意

(1) 兼狀與句主同格同數.

(2) 兼狀情體, 大抵以進一層之句譯之, 如接時, 原因, 各助讀字所引入之句是也, 參 § 110(2).

(3) 兼狀情體之時體, 須看聯用之動字.

192. 研究以下各句.

1. τοῖς ἀκούουσι (於), 對於彼等聞者.

2. περὶ τοῦ γινώσκοντος (屬), 論及彼知者.

3. τὸν γεννήσαντα (向), 彼已生子者.

4. ὁ γεγεννημένος (主), 彼今被生成者.

193. 指件字與兼狀聯用, 在各格皆可, 惟以漢文者字譯之.

兼狀情體,爲最常用之文法,卽在初學者亦不可少,本課已將此等字解釋明晰如能熟悉,則凡遇有兼狀情體之文法,不難會悟也.

習課

1. ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἔχει τὴν ἀλήθειαν. 2. πορευόμενοι δὲ κηρύσσετε λέγοντες ὅτι ἤγγικεν 甲 ἡ βασιλεία τῶν οὐρανῶν. 3. καὶ ἀποκριθέντες αὐτῷ εἶπον Οὐκ οἴδαμεν. 4. ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με. 5. καὶ ἐλθόντες εἰς τὴν οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ. 6. ὁ μένων ἐν ἐμοὶ καὶ ἐγὼ ἐν αὐτῷ οὗτος ἔχει χαρὰν πολλήν. 7. ὁ πέμψας με δίκαιός ἐστιν. 8. ἀκούσας δὲ ὁ Ἰησοῦς ἐθαύμασεν καὶ εἶπεν τοῖς ἀκολουθοῦσιν 乙, ἀμὴν λέγω ὑμῖν. 9. ταῦτα ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων 丙 ὑμᾶς. 10. ταῦτα αὐτοῦ λαλοῦντος 丁 πολλοὶ ἐπίστευσαν. 11. πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστὶν ὁ Χριστὸς ἐκ τοῦ θεοῦ γεγέννηται, καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα ἀγαπᾷ 戊 τὸν γεγεννημένον ἐξ αὐτοῦ.

甲 ἐγγίζω, 臨近

乙 原爲 ἀκολουθέ-ουσιν, 而縮寫爲 ἀκολουθοῦσιν, 參 § 5.

丙 原爲 πλαναόντων, 而縮寫爲 πλανώντων, 參 § 5.

丁 兼狀與名物或稱代,若皆歸屬格,謂之獨立屬格 (Genitive Absolute), 此乃希文中最簡便之文法,凡進一層之語句,大抵可以獨立屬格代之,惟所用之名物字,不得爲本句之主.

戊 原爲 ἀγαπάει 而縮寫爲 ἀγαπᾷ.

第二十六課

發問稱代字，無定稱代字 (*Interrogative and Indefinite Pronouns*).

195. 語集

ἀγορά, ἡ, 市廛
ἀγρός, ὁ, 田，郊野
διακονέω, 爲僕，服役
διάκονος, ὁ, 僕，會吏
θεραπεύω, 醫治
θηρίον, τό, 野獸
μᾶλλον [助動]，尤多，寧可
μαρτυρία ἡ, 証詞，見証
οἶνος, ὁ, 酒
οὐκ-έτι, [助動]，尙未，再不
ὅταν, [助讀，其後例爲懸擬情體]，其時
ποτέ, [助動]，任何時
πρόβατον, τό, 羊
τότε, [助動]，在彼時
ταχέως, [助動]，速
φεύγω, 逃

196. 習讀發問稱代字 § 55, τίς τί, 及無定稱代字 § 24(2), τὶς τὶ 之全式.

注意

(1) 發問無定二稱代字，其格變式相同.

(2) 留心該二字之區別，全在重音號，參 § 55, § 24(2) 註，又無定稱代字爲推聯前字之字，參 § 15(1)乙.

197. 研究以下各發問句.

1. σὺ τίς εἶ; 爾爲誰
2. τίς ἐστὶν ὁ ἄνθρωπος; 其人爲誰
3. τίνα ζητεῖτε; 爾等尋誰
4. γινώσκετε τί πεποίηκα; 爾等知我已作何事

註

以上第四句，謂爲間接之發問句.

198. 研究以下各句.

1. *ἐὰν μή τις γεννηθῇ ἄνωθεν.* 任何人,若非自上而生.

2. *τινὲς δὲ ἐξ αὐτῶν εἶπον.* 其中有數人已言矣.

3. *καί τις ἀνὴρ χωλός.* 且一跛者.

4. *ἐάν τι αἰτήσητέ με ἐν τῷ ὀνόματί μου τοῦτο ποιήσω.* 若爾等任何事在我名而求,我將作之.

留心無定稱代字,大抵無重音號,爲推聯前字之字.

發問稱代,與無定稱代,此二字新約中常見之,約有數百次之多.

199. Λύω 之兼名各體變式開列於下.

	今恆	將來	已往	今成
主動	λύ-ειν	λύ-σ-ειν	λῦ-σαι	λε-λυ-κ-έ-ναι
關身	λύ-ε-σθαι	λύ-σε-σθαι	λύ-σα-σθαι	λε-λύ-σθαι
被動	λύ-ε-σθαι	λυ-θή-σε-σθαι	λυ-θῆ-ναι	λε-λύ-σθαι

留心有 *-αι* 情尾號者,*-αι* 爲短元音,且凡有 *-ναι* 情尾號之式,其重音號必書於次綴音上,關身今成之兼名情體亦然.

200. Εἰμί 之今恆兼名爲 *εἶναι,* 其將來兼名爲 *ἔσεσθαι.* Οἶδα (知) 之兼名爲 *εἰδέναι.*

201. 習課

1. *τί δὲ ὑμῖν δοκεῖ;* 2. *ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ.* 3. *ἐάν τι αἰτώμεθα κατὰ* (憑) *τὸ θέλημα αὐτοῦ ἀκούει ἡμῶν.* 4. *εἴδομέν τινα ἐν τῷ ὀνόματί σου ἐκβάλλοντα δαιμόνια.* 5. *τί θέλετε ποιήσω ὑμῖν;* 6. *ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν οὐκ οἴδατε τί αἰτεῖσθε.* 7. *ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; ἀποκριθεὶς ὁ Πέτρος λέγει αὐτῷ Σὺ εἶ ὁ Χριστός.* 8. *ἀγαπητοί, νῦν τέκνα θεοῦ ἐσμεν, καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα. οἴδαμεν ὅτι ἐὰν φανερωθῇ ὅμοιοι αὐτῷ ἐσόμεθα ὅτι ὀψόμεθα* (將見) *αὐτὸν καθώς ἐστιν.* 9. *καὶ πορευομένων αὐτῶν* 甲 *ἐν τῇ ὁδῷ εἶπέν τις πρὸς αὐτὸν Ἀκολουθήσω σοι.* 10. *ὅταν γὰρ ἀσθενῶ τότε δυνατός εἰμι.*

甲 獨立屬格,見課二十五., 194 丁.

第二十七課

字根尾爲流音動字之將來已往 (*Future and Aorist of Liquid Verbs.*)

202. 語集

ἀποκτείνω,	殺去	ὀφείλω,	該, 應
δίκτυον, τό,	網	πάσχω,	受苦
ἐκτείνω,	伸出	πειράζω,	試驗, 試探
ἐπαίρω,	舉	πλούσιος,	富的
ἐπιτιμάω,	責備, 嚴斥	ποτήριον, τό,	杯
καθίζω,	坐	στρατιώτης, ὁ,	兵
μακρόθεν	[助動], 自遠處	σωτηρία, ἡ,	拯救之事
νυμφίος, ὁ,	新郎	φρόνιμος,	明達的

203. Μένω (居) 之將來, 開列於下.

		主動		關身	
單	一身	(μενέω)	μενῶ	(μενέομαι)	μενοῦμαι
	二身	(μενέεις)	μενεῖς	(μενέ-ῃ)	μενῇ
	三身	(μενέει)	μενεῖ	(μενέ-εται)	μενεῖται
多	一身	(μενέομεν)	μενοῦμεν	(μενε-όμεθα)	μενούμεθα
	二身	(μενέετε)	μενεῖτε	(μενέ-εσθε)	μενεῖσθε
	三身	(μενέουσι)	μενοῦσι	(μενέονται)	μενοῦνται

注意

1. Μένω 之字根尾爲流音 (λ μ ν ρ) 參 § 2(1).
2. 流音將來之時體號, 用 -ε ο/ε 勿用 -σ ο/ε.
3. ε 與絡音縮寫, 參 § 5.
4. 如縮寫之一綴音, 原有重音號, 則其縮寫後, 必仍有重音號, 且若不違重音號之例, 須書 (^) 重音號.

204. Μένω 之縮寫法, 如 -ε ο/ε 改爲 ου/ει 則更可表明之, 蓋在 μ 或 ν 前, 皆書 -ου- 於字根身尾號之中, 他處則書 -ει-.

字根尾有 ε 之動字, 其指實今恆昔恆亦必縮寫, 體式與 μένω 之將來同, 習讀 § 86, φιλέω 之式.

205. Αἴρω (字根 ἀρ-, 除去) 之將來爲 ἀρῶ.

ἀποστέλλω (字根 ἀποστελ-, 遣) 之將來爲 ἀποστελῶ.

ἐγείρω (字根 ἐγερ-, 起) 之將來爲 ἐγερῶ,

ἐπαγγέλλω (字根 ἐπαγγελ-, 許) 之將來爲 ἐπαγγελῶ.

ἀποκτείνω (字根 ἀποκτεν-, 殺) 之將來爲 ἀποκτενῶ.

圓

多有流音動字,其今恆時體根中加 ι. 如尾流音爲 λ, 則 ι 與 λ, 卽變爲 λλ.

206. 體變式規例 有流音之動字, 其將來時尾號爲 ε ο/ε.

207. 流音動字已往之各情體式, 開列於下

字	指實	懸擬	兼名	兼狀
Μένω	ἔ-μειν-α	μείν-ω	μεῖν-αι	μείν-ας
ἐπαγγέλλω	ἐπήγγειλ-α	ἐπαγγείλ-ω	ἐπαγγεῖλ-αι	ἐπαγγείλ-ας
κρίνω	ἔκρῑν-α	κρίνω	κρῖν-αι	κρίν-ας

208. 體變式規例 流音動字主動關身之已往，勿加 σ，但以字根之尾元音變長，如 ε 改爲 ει，α 改爲 η 是也，惟 ε, ι, ρ 前，則 α 仍爲 α，見 53, 1.

209. 習課

1. ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ. 2. καὶ αὕτη ἐστὶν ἡ ἐπαγγελία (允許之言) ἣν αὐτὸς ἐπηγγείλατο ἡμῖν τὴν ζωὴν αἰώνιον. 3. ὁ ἐγείρας τὸν Ἰησοῦν καὶ ἡμᾶς σὺν Ἰησοῦ 甲 ἐγερεῖ. 4. ἦραν τὸν κύριον ἐκ τοῦ μνημείου 乙 καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν (置) αὐτόν. 5. ὁ δεχόμενος ὑμᾶς ἐμὲ δέχεται, καὶ ὁ ἐμὲ δεχόμενος δέχεται τὸν ἀποστείλαντά με. 6. καθὼς ἐμὲ ἀπέστειλας εἰς τὸν κόσμον, κἀγὼ 丙 ἀπέστειλα αὐτοὺς εἰς τὸν κόσμον. 7. ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν τῷ υἱῷ καὶ (亦) ἐν τῷ πατρὶ μενεῖτε. 8. διὰ τοῦτο καὶ ἡ σοφία τοῦ θεοῦ εἶπεν Ἀποστελῶ εἰς αὐτοὺς προφήτας καὶ ἀποστόλους. 9. ἦν δὲ ἐγγὺς τὸ πάσχα, ἡ ἑορτὴ τῶν Ἰουδαίων. ἐπάρας οὖν τοὺς ὀφθαλμοὺς ὁ Ἰησοῦς καὶ θεασάμενος ὅτι πολὺς ὄχλος ἔρχεται πρὸς αὐτὸν λέγει πρὸς Φίλιππον Πόθεν ἀγοράσωμεν ἄρτους ἵνα φάγωσι (食) οὗτοι;

甲 參 § 27 註 戊.

乙 μνημεῖον, 墓.

丙 參 § 11.

第二十八課

反身等稱代字 (*Pronouns; Reflexive, Reciprocal*).

210. 語集

ἀναπίπτω,	躺臥	καθαρός,	潔淨的
γέμω,	充滿	κρατέω,	執掌
δένδρον, τό,	樹	μακάριος,	有福的
δῶρον, τό,	贈品	μισθός, ὁ,	工價
ἐλπίζω,	望	μυστήριον, τό,	秘訣, 奧秘
ἔξεστι	[三身單] 可, 宜	σός,	你的
θυσία, ἡ,	祭物	φρονέω,	思想
ἱκανός,	足的, 堪,	ὥστε [助讀]	以致, 且如

211. 習讀 § 51, ἐμαυτοῦ, 我自己的, σεαυτοῦ, 你自己的, ἑαυτοῦ, 他自己的, 各反身稱代字之全式.

注意

1. 反身稱代字, 僅在屬於向三格有之.
2. 一身二身以 ἐγώ, σύ, 二字之字根與 αὐτός (自己) 相合而成, 惟三身用古文之稱代字, 卽 ἑ 與 αὐτός.

212. ἑαυτοῦ 亦可縮寫爲 αὑτοῦ, αὑτῆς 等.

213. 研究以下各句.

1. ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ. 我爲己作証
2. ἐγὼ δοξάζω ἐμαυτόν. 我榮己
3. ἀπ' ἐμαυτοῦ οὐ λαλῶ. 我非由己而言.
4. τί λέγεις περὶ σεαυτοῦ; 爾論及己所言者爲何.

5. δοξάσει αὐτὸν ἐν ἑαυτῷ. 彼將在己身榮耀其人.

6. αὐτοὶ ἐν ἑαυτοῖς στενάζομεν. 我等在己身歎息.

以上各句之反身稱代字，皆指句主而言，故謂之反身，參 § 51 註.

圈

以上第六句，其句雖爲一身，而竟用三身之反身稱代字，此法容或有之.

214. Ἀλλήλων 僅用於陽性多數屬於向三格，於格 卽 ἀλλήλοις 向格 卽 ἀλλήλους 此稱代字有互相，彼此，之意義，如 δόξαν παρὰ ἀλλήλων λαμβάνοντες，由彼此而得榮耀者，εἰ ἀγάπην ἐν ἀλλήλοις ἔχετε 若爾等在彼此有愛心，μισοῦσιν ἀλλήλους，伊等彼此仇恨，參 § 57(4).

215. 習課

1. τίνα σεαυτὸν ποιεῖς; 2. αὐτὸς δὲ Ἰησοῦς οὐκ ἐπίστευσεν αὐτὸν αὐτοῖς. 3. οἱ μαθηταί σου ποιοῦσι ὃ οὐκ ἔξεστιν ποιεῖν ἐν σαββάτῳ. 4. ὥστε μαρτυρεῖτε ἑαυτοῖς ὅτι υἱοί ἐστε τῶν φονευσάντων 甲 τοὺς προφήτας. 5. ἀπ' ἐμαυτοῦ οὐκ ἐλήλυθα. 6. ὁ γὰρ πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ. 7. ἐὰν εἴπωμεν ὅτι ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτούς πλανῶμεν καὶ ἡ ἀλήθεια οὐκ ἔστιν ἐν ἡμῖν. 8. ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς, ὃ γὰρ βλέπει τίς ἐλπίζει; 9. ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ θεοῦ, τὸ γεγεννημένον ἐκ τῆς σαρκὸς σάρξ ἐστιν, καὶ τὸ γεγεννημένον ἐκ τοῦ πνεύματος πνεῦμά ἐστιν.

甲 φονεύω; 殺戮.

第二十九課

使令情體 (*Imperative*).

216. 語集

ἀποκαλύπτω,	顯明, 啟示	καλῶς	[助動], 美然
βαστάζω,	取, 擔負	κλαίω,	哭, 泣
γαμέω,	娶	μετανοέω,	懊悔
γνωστός,	可知的	πλήν	[助讀 亦有助格之用,其後例爲屬格] 除非, 惟, 但
δύο,	二	σήμερον	[助動], 今
εἷς,	一	τέσσαρες,	四
ἐλάχιστος,	最小的	τρεῖς,	三
καθάπερ	[助讀], 正如	ὕστερον	[助動], 後 以後
κακῶς	[助動], 劣然,病貌,妄然		

217. Λύω 之今恆使令開列於下.

	主動	關被
	單	
二身	λῦ-ε	λύ-ου
三身	λυ-έ-τω	λυ-έ-σθω
	多	
二身	λύ-ε-τε	λύ-ε-σθε
三身	λυ-έ-τωσαν	λυ-έ-σθωσαν

註

凡用關被二字,即指關身被動而言

218. 使令之身尾號開列於下.

	主動		關被	
	單	多	單	多
二身	-θι	-τε	-σο	-σθε
三身	-τω	-τωσαν	-σθω	-σθωσαν

註

甲 主動二身單之 θι, 有 ω 體變式之動字,大抵不用之.

乙 λύ-ου 原爲 λύ-ε-σο.

丙 二身多即指實之身尾號.

丁 三身多即三身單之身尾號,加 -σαν.

219. 研究以下二句

ἀκουέτω, 容彼聽

μὴ θαυμάζετε, 爾等勿驚異

使令之用法，參 § 63. 凡有不字之意者，必用 *μή*, 勿用 *οὐ*.

220. 習讀 *λύω* 之各已往使令 § 76, § 79, 及 *λείπω* 之各已往使令 § 81.

註

甲 主動已往二身單之 *-ον*, 乃違例之身尾號.

乙 被動已往二身單之 *-θι* 改爲 *-τι*, 以免其音不諧,而不中人之聽聞也, 參 § 6(10).

221. 習讀 *οὐδείς*, 無一 (*οὐδέ*, 亦無, *εἷς*, 一) 之式, 參 § 49, *εἷς*.

	陽	陰	罔
主	**οὐδείς**	**οὐδεμία**	**οὐδέν**
屬	**οὐδενός**	**οὐδεμιᾶς**	**οὐδενός**
於	**οὐδενί**	**οὐδεμιᾷ**	**οὐδενί**
向	**οὐδένα**	**οὐδεμίαν**	**οὐδέν**

222. **習課**

1. *λέγει αὐτῷ Φίλιππος, ἔρχου καὶ ἴδε.* 2. *μετανοεῖτε καὶ πιστεύετε ἐν τῷ εὐαγγελίῳ.* 3. *πορεύθητι πρὸς τὸν λαόν.* 4. *καλῶς ποιεῖτε τοῖς μισοῦσιν ὑμᾶς.* 5. *ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ τί* 甲 *λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ* 乙 *εἷς ὁ θεός.* 6. *οἱ δὲ πάλιν* (又) *ἔκραξαν Σταύρωσον αὐτόν.* 7. *ὁ ἔχων ὦτα* 丙 *ἀκούειν ἀκουέτω.* 8. *ὁ θεὸς φῶς ἐστι καὶ σκοτία οὐκ ἔστιν ἐν αὐτῷ οὐδεμία* 丁. 9. *ἔτι πολλὰ ἔχω ὑμῖν λέγειν, ἀλλ' οὐ δύνασθε βαστάζειν.* 10. *πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν.* 11. *μὴ κρίνετε ἵνα μὴ κριθῆτε.* 12. *ὁ πιστὸς ἐν ἐλαχίστῳ καὶ ἐν πολλῷ πιστός ἐστιν, καὶ ὁ ἐν ἐλαχίστῳ ἄδικος καὶ ἐν πολλῷ ἄδικός ἐστιν.* 13. *μὴ θαυμάζετε, ἀδελφοί, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος.*

甲 *Τίς* 之罔性, 亦可有爲何之意.

乙 *εἰ μή* 除非.

丙 參 § 36, *οὗς*.

丁 希文用二不字, 仍爲不字之意, 參 § 142.

第三十課

字根尾爲 -ον 與 -ες 之狀字，及狀字比較法之三級

(*Adjective in* -ον *and* ες-. *Comparison*).

223. 語集

ἀληθής,	眞的	ὀλίγος,	少的
ἄσθενής,	弱的，有病的	περισσός,	豐富的，充裕的
ἄφρων,	無知的	πλήρης,	滿足的
γάμος, ὁ,	婚姻，婚筵	προσευχή, ἡ,	禱詞
δέσμος, ὁ,	鏈	σκανδαλίζω,	使之絆足
διώκω,	追逼	τρέχω,	跑
μονογενής,	獨生的	ὑγιής,	痊，愈
ὕψιστος,	至高的		

224. 習讀 § 39 ἀληθής, 之式，留心 註 甲乙，較 § 33, γένος.

註

多向之身尾號 -εις 違例，與主格同式.

習讀 § 39, ἄφρων 之式.

225. 研究以下狀字之比較法，參 § 46.

尋常		較勝		尤最	
ἰσχυρός,	强的	ἰσκυρό-τερος,	更强的	ἰσκυρό-τατος,	至强的
ἀσθενής,	弱的	ἀσθενέσ-τερος,	更弱的	ἀσθενέσ-τατος,	至弱的
σοφός,	明哲的	σοφώ-τερος,	更明哲的	σοφώ-τατος,	至明哲的
νέος,	少的	νεώ-τερος,	更少的	νεώ-τατος,	至少的

讀熟 § 46(1).

226. 熟讀 § 46(2). 此種狀字，其三級大抵違例.

熟讀 § 47 之字之三級.

227. 研究以下各助動字之三級.

尋常	較勝	尤最
κακῶς, 劣	χεῖρον, 更劣	———
καλῶς, 美	κάλλιον, 更美	κάλλιστα, 至美
ταχέως, 速	τάχιον, 更速	τάχιστα, 至速

注意

(1) 助動字尋常級之尾綴音大抵爲 -ως. 試問與狀字屬格多數之格尾號, 有何異同.

(2) 助動字較勝級, 大抵爲狀字之向單罔.

(3) 助動字尤最級, 大抵爲狀字之向多罔.

228. 研究以下句中之文法.

μείζονα ἀγάπην ταύτης οὐκ οἴδαμεν. 較此更大之愛心, 我等不知.

句法規例 較勝級之狀字, 必復有與較者之字, 其與較者之格, 例爲屬格.

229 習課

1. οὗτος δέ ἐστιν πλήρης χάριτος καὶ ἀληθείας. 2. οἴδαμεν ὅτι ἀληθὴς εἶ. 3. ὁ δὲ ὀπίσω 甲 μου ἐρχόμενος ἰσχυρότερός μου ἐστίν. 4. ἄφρων, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου αἰτοῦσι ἀπό σου. 5. οὐκ ἐστιν δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ οὐδὲ ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν. 6. καὶ δόξα ἐν ὑψίστοις. 7. εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν, ἀλλὰ ταῦτα πάντα ποιήσουσιν εἰς ὑμᾶς διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασιν τὸν πέμψαντά με. 8. Σάββατόν ἐστι, καὶ οὐκ ἔξεστίν σοι ἆραι τὸν κράβαττυν (床). ὃς δὲ ἀπεκρίθη αὐτοῖς ὁ ποιήσας με ὑγιῆ ἐκεῖνός μοι εἶπεν Ἄρον τόν κράβαττόν σου καὶ περιπάτει.

甲 ὀπίσω 以後,助動字後,若有名物或稱代字,則該名物或稱代字,例爲屬格.

第三十一課

μι 動字之體變式 (*Regular Verbs in* μι).

230. 動字之體變式凡二,(見 73,). 有 ω 之動字, 用之最多, 然有 μι 之動字, 其式最古, 故亦常用之, 如 ἀφίημι, 釋, δείκνυμι, 指明, δίδωμι, 賜予, εἰμί, 爲, ἵστημι, 立, ὄμνυμι, 誓, τίθημι, 置, φημί, 曰, 參 § 73, § 88.

231. μι 動字與 ω 動字, 其體變式不同之處, 卽今恆已往二要體, μι 動字無絡音, 但身尾號直接加於時體根後, 參 § 73.

232. 習讀 § 107, δίδωμι 之六要體, 及 § 89-92, δίδωμι 主動今恆已往二要體之全式. 其關身被動之式不多見,故略之.

233. 與 δίδωμι 配合之助格字, 常見者卽 ἀπό, ἐπί, παρά.

234. 注意

(1) § 71 表之身尾號, μι 動字則不改之.

(2) 今將三身多之身尾號爲 -ᾶσι.

(3) 往昔三身多之身尾號爲 -σαν.

235. (1) 今恆要體根前加 δι-, 卽其首字母 δ 與 ι.

(2) 昔恆之指實單數字根尾之 ο 變長爲 ου.

(3) 主動指實已往有 -κα, 其體變式與已往式一. (ἔλυσα) 同.

(4) 已往懸擬之縮寫法, 參 § 5.

(5) 已往兼名爲 δό-εναι, 而縮寫爲 δοῦναι.

236. 習讀 § 107, *ἀφ-ίημι* 之六要體, 及略習 § 96, *-ῖημι* 之簡式.

237. 昔成時體不多見, 既爲往昔時體, 卽有往昔號 (§ 68), 及往昔身尾號 (§ 71), 且亦有今成要體根之成時號 (§ 69) 及記號 (*κ*). 其絡音爲 *-ει-*. 習讀 § 77 *λύω* 主動昔成, § 78 *λύω* 關身昔成. 二時體之式, 較 § 74 昔恆時體之式.

238. 試認以下所列 *ἀφίημι*, *δίδωμι*, 二字之各式.

ἀφίημι, 釋, 赦

ἀφήσεις, ἄφες, ἀφῆκας, ἀφίεται, ἧφιε, ἀφέωνται, ἀφῆκα, ἀφεῖς, ἀφιέναι, ἀφιέτω, ἀφῇ, ἀφίησιν, ἀφήσω, ἀφῶμεν, ἀφέντες, ἀφέθησαν, ἀφήκαμεν, ἄφετε, ἀφήσει, ἀφήκατε, ἀφῆτε, ἀφήσουσι, ἀφεθῇ, ἀφίεμεν, ἀφῆκαν, ἀφίετε, ἀφεθήσεται, ἀφεῖναι, ἀφεῖς, ἀφῆκες (與 *ἀφῆκας* 同), *ἀφίουσι, ἀφίομεν.*

δίδωμι, 予, 給

ἐδώκαμεν, διδούς, δούς, δός, δῷ, διδόασι, δώσουσι, ἔδωκαν, δῶσιν, δοθήσεται, δέδωκε, δεδώκει, διδόμενον, δεδώκεισαν 甲, *δέδωκα, ἐδίδουν, ἔδωκας, δίδοται, δώσω, δοθῇ, διδόναι, δοῦναι, δοθῆναι, δίδωμι, δώσεις, δότω, ἐδίδου, δίδωσι, δώσῃ, δίδοτε, διδόντι, ἐδώκατε, δεδομένον, δέδοται, δοθείσῃ, δεδομένην, ἔδωκε, δώσει, δῶμεν, ἔδωκα, διδόντα, ἐδόθη, δοθείσης, δόντος, δώσομεν, δῶτε, δοθεῖσαι, δίδου, δῷς, δοθεῖσαν, ἐδόθησαν, δόντα, δέδωκας, διδόντες, δότε.*

甲 參 § 77 註 丙.

第三十二課

μι 動字之體變式 續前 (μι *Verbs Continued.*)

239. 研究以下各字.

-ἵ-η-μι (字根 ἑ-) 放　　δίδω-μι (字根 δο-) 予.

ἵ-στη-μι (字根 στᾰ-) 立　　τί-θη-μι (字根 θε-) 置

留心各字之字根前, 另加一綴音, 卽字根首字母與 ι. ἵστημι 原爲 σίστημι, 參 § 88.

240. ω 動字中亦有數字,其書法同上.

γινώσκω 原爲 γιγνώσκω (字根 γνο-),

γίνομαι 原爲 γίγνομαι (字根 γεν-),

留心字根前加首字母與 ι, 惟在今恆要體有之,他要體則無也.

241. 習讀 § 107, ἵστημι, τίθημι 之六要體, 及 § 89-92, 二字今恆已往之全式.

與 ἵστημι 配合之助格字, 常見者卽 ἀνά, κατά, ἐπί, ἐξ, σύν, ἀπό, ἀντί.

與 τίθημι 配合之助格字, 常見者卽 ἐπί, παρά, πρός.

242. 習讀 § 107, δείκνυμι 之六要體, 及 § 89-90, δείκνυμι 今恆要體之全式.

243. 試認以下所列 ἵστημι τίθημι 二字之各式.

ἵστημι, 立

ἱστῶμεν, ἵστησι, στήσει, στάς, ἕστηκας, ἔστησε, ἑστώς, σταθείς, στῆσαι, στήσῃς, στήσαντες, στήσονται, στήσητε, στάντος, σταθῆναι, ἑστάναι, στῆναι, στήσετε, στῆθι, ἑστήκαμεν, ἑστηκώς, ἑστῶτος, σταθήσεται, ἔστησαν, ἑστηκότες, ἑστήκασι, σταθέντα, εἱστήκει, ἐστάθην, ἑστῶτα, σταθήσεσθε, εἱστήκεισαν, ἑστῶτες, σταθέντες, ἑστηκός, στᾶσα, σταθῇ, ἔστην, ἕστηκε, ἑστῶτας, ἑστηκότων, ἔστη, στῆτε, ἑστώτων, ἐστάθη, ἔστησαν, ἐστάθησαν, εἱστήκεσαν, στήσῃ, ἱστάνομεν, ἑστός.

τίθημι, 置

τέθεικα, θείς, τιθέναι, τίθημι, θῶ, τεθῇ, ἐτίθει, θήσω, ἔθηκα, ἔθου, τεθεικώς, θέντες θεῖναι, θήσεις, ἐτίθουν, τιθέασι, τίθησι, θῇ, τιθέτω, θέμενος, τεθῆναι, ἔθετο, θήσει, τίθεται, θῶμεν, θέσθε, τιθείς, ἔθηκαν, ἔθεσθε, ἐτέθην, τεθῶσι, τιθέντες, ἔθηκας, ἔθεντο, θέτε, ἔθηκε, ἐτέθη, τεθείκατε, ἐτέθησαν, τέθειται.

244. 無三身區別之動字:

δεῖ, 必, 當　　ἔξεστι, 可, 宜

δοκεῖ, 想, 以爲　　μέλει, 顧念

μεταμέλει, 懊悔

以上各動字, 僅有三身單, 而無一身二身三身之別.

τί με δεῖ ποιεῖν; 我當行何事乎. δεῖ ὑμᾶς γεννηθῆναι ἄνωθεν, 爾等當自上被生矣.

留心以上二句, 無三身區別之動字, 必有向格與兼名情體聯用, 以補助其意也.

新約中摘出之原文，試以漢文譯之

(*Selections for Translation.*)

以下之生字，須查新約原文字典，以便熟習用字典之方法.

若有難解之變用式及句法，可看原文後所附增之釋詁，便可明悉矣.

It has been thought best not to include a special vocabulary with these reading lessons, but to have the student begin using the Greek-Chinese-English Dictionary and thus to acquire familiarity with its method.

At the end of the Selections will be found Notes on the more difficult forms and constructions.

約翰一書全 (First Epistle of John)

Ο ΗΝ ΑΠ' ΑΡΧΗΣ, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς 1
ὀφθαλμοῖς ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν
ἐψηλάφησαν περὶ τοῦ λόγου τῆς ζωῆς,—καὶ ἡ ζωὴ ἐφανερώθη, 2
καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν
ζωὴν τὴν αἰώνιον ἥτις ἦν πρὸς τὸν πατέρα καὶ ἐφανερώθη
ἡμῖν,—ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν ἀπαγγέλλομεν καὶ 3
ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ' ἡμῶν· καὶ ἡ
κοινωνία δὲ ἡ ἡμετέρα μετὰ τοῦ πατρὸς καὶ μετὰ τοῦ υἱοῦ
αὐτοῦ Ἰησοῦ Χριστοῦ· καὶ ταῦτα γράφομεν ἡμεῖς ἵνα ἡ 4
χαρὰ ἡμῶν[1] ᾖ πεπληρωμένη.

Καὶ ἔστιν αὕτη ἡ ἀγγελία ἣν ἀκηκόαμεν ἀπ' αὐτοῦ 5
καὶ ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ θεὸς φῶς ἐστὶν καὶ σκοτία
οὐκ ἔστιν ἐν αὐτῷ οὐδεμία. Ἐὰν εἴπωμεν ὅτι κοινωνίαν 6
ἔχομεν μετ' αὐτοῦ καὶ ἐν τῷ σκότει περιπατῶμεν,
ψευδόμεθα καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν· ἐὰν δὲ ἐν τῷ 7
φωτὶ περιπατῶμεν ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοινωνίαν
ἔχομεν μετ' ἀλλήλων καὶ τὸ αἷμα Ἰησοῦ τοῦ υἱοῦ αὐτοῦ

[1] ὑμῶν.

8 καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας. Ἐὰν εἴπωμεν ὅτι
9 ἁμαρτίαν οὐκ ἔχομεν, ἑαυτοὺς πλανῶμεν καὶ ἡ ἀλήθεια
οὐκ ἔστιν ἐν ἡμῖν. ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν,
πιστός ἐστιν καὶ δίκαιος ἵνα ἀφῇ ἡμῖν τὰς ἁμαρτίας καὶ
10 καθαρίσῃ ἡμᾶς ἀπὸ πάσης ἀδικίας. Ἐὰν εἴπωμεν ὅτι οὐχ
ἡμαρτήκαμεν, ψεύστην ποιοῦμεν αὐτὸν καὶ ὁ λόγος αὐτοῦ
1 οὐκ ἔστιν ἐν ἡμῖν. Τεκνία μου, ταῦτα γράφω ὑμῖν ἵνα μὴ
ἁμάρτητε. καὶ ἐάν τις ἁμάρτῃ, παράκλητον ἔχομεν πρὸς
2 τὸν πατέρα Ἰησοῦν Χριστὸν δίκαιον, καὶ αὐτὸς ἱλασμός
ἐστιν περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὐ περὶ τῶν ἡμετέρων δὲ
3 μόνον[1] ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. Καὶ ἐν τούτῳ
γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτόν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ
4 τηρῶμεν. ὁ λέγων ὅτι Ἔγνωκα αὐτὸν καὶ τὰς ἐντολὰς
αὐτοῦ μὴ τηρῶν ψεύστης ἐστὶν, καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ
5 ἔστιν· ὃς δ' ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ
ἡ ἀγάπη τοῦ θεοῦ τετελείωται. Ἐν τούτῳ γινώσκομεν ὅτι ἐν
6 αὐτῷ ἐσμέν. ὁ λέγων ἐν αὐτῷ μένειν ὀφείλει καθὼς ἐκεῖνος
περιεπάτησεν καὶ αὐτὸς περιπατεῖν.

7 Ἀγαπητοί, οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλ' ἐντολὴν
παλαιὰν ἣν εἴχετε ἀπ' ἀρχῆς· ἡ ἐντολὴ ἡ παλαιά ἐστιν ὁ
8 λόγος ὃν ἠκούσατε. πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν, ὅ
ἐστιν ἀληθὲς ἐν αὐτῷ καὶ ἐν ὑμῖν, ὅτι ἡ σκοτία παράγεται
9 καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη φαίνει. Ὁ λέγων ἐν τῷ
φωτὶ εἶναι καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν ἐν τῇ σκοτίᾳ ἐστὶν
10 ἕως ἄρτι. ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ φωτὶ μένει,
11 καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ ἔστιν·[2] ὁ δὲ μισῶν τὸν ἀδελφὸν
αὐτοῦ ἐν τῇ σκοτίᾳ ἐστὶν καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ, καὶ
οὐκ οἶδεν ποῦ ὑπάγει, ὅτι ἡ σκοτία ἐτύφλωσεν τοὺς ὀφθαλ-
12 μοὺς αὐτοῦ. Γράφω ὑμῖν, τεκνία, ὅτι ἀφέωνται ὑμῖν αἱ
13 ἁμαρτίαι διὰ τὸ ὄνομα αὐτοῦ· γράφω ὑμῖν, πατέρες, ὅτι
ἐγνώκατε τὸν ἀπ' ἀρχῆς· γράφω ὑμῖν, νεανίσκοι, ὅτι
14 νενικήκατε τὸν πονηρόν. ἔγραψα ὑμῖν, παιδία, ὅτι ἐγνώκατε

[1] μόνων. [2] οὐκ ἔστιν ἐν αὐτῷ.

τὸν πατέρα· ἔγραψα ὑμῖν, πατέρες, ὅτι ἐγνώκατε τὸν ἀπ'
ἀρχῆς· ἔγραψα ὑμῖν, νεανίσκοι, ὅτι ἰσχυροί ἐστε καὶ ὁ
λόγος [τοῦ θεοῦ] ἐν ὑμῖν μένει καὶ νενικήκατε τὸν πονηρόν. 15
Μὴ ἀγαπᾶτε τὸν κόσμον μηδὲ τὰ ἐν τῷ κόσμῳ. ἐάν τις
ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ. 16
ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς καὶ ἡ
ἐπιθυμία τῶν ὀφθαλμῶν καὶ ἡ ἀλαζονία τοῦ βίου, οὐκ
ἔστιν ἐκ τοῦ πατρός, ἀλλὰ ἐκ τοῦ κόσμου ἐστίν· καὶ ὁ 17
κόσμος παράγεται καὶ ἡ ἐπιθυμία [αὐτοῦ], ὁ δὲ ποιῶν τὸ
θέλημα τοῦ θεοῦ μένει εἰς τὸν αἰῶνα.

Παιδία, ἐσχάτη ὥρα ἐστίν, καὶ καθὼς ἠκούσατε ὅτι 18
ἀντίχριστος ἔρχεται, καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν·
ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν. ἐξ ἡμῶν ἐξῆλθαν, 19
ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ ἐξ ἡμῶν ἦσαν, μεμενήκεισαν
ἂν μεθ' ἡμῶν· ἀλλ' ἵνα φανερωθῶσιν ὅτι οὐκ εἰσὶν πάντες 20
ἐξ ἡμῶν. καὶ ὑμεῖς χρίσμα ἔχετε ἀπὸ τοῦ ἁγίου· οἴδατε 21
πάντες—[1] οὐκ ἔγραψα ὑμῖν ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν,
ἀλλ' ὅτι οἴδατε αὐτήν, καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας
οὐκ ἔστιν. Τίς ἐστιν ὁ ψεύστης εἰ μὴ ὁ ἀρνούμενος 22
ὅτι Ἰησοῦς οὐκ ἔστιν ὁ χριστός; οὗτός ἐστιν ὁ ἀντίχριστος,
ὁ ἀρνούμενος τὸν πατέρα καὶ τὸν υἱόν. πᾶς ὁ ἀρνούμενος 23
τὸν υἱὸν οὐδὲ τὸν πατέρα ἔχει· ὁ ὁμολογῶν τὸν υἱὸν καὶ τὸν
πατέρα ἔχει. Ὑμεῖς ὃ ἠκούσατε ἀπ' ἀρχῆς, ἐν ὑμῖν με- 24
νέτω· ἐὰν ἐν ὑμῖν μείνῃ ὃ ἀπ' ἀρχῆς ἠκούσατε, καὶ ὑμεῖς ἐν
τῷ υἱῷ καὶ [ἐν] τῷ πατρὶ μενεῖτε. καὶ αὕτη ἐστὶν ἡ 25
ἐπαγγελία ἣν αὐτὸς ἐπηγγείλατο ἡμῖν, τὴν ζωὴν τὴν
αἰώνιον. Ταῦτα ἔγραψα ὑμῖν περὶ τῶν πλανώντων ὑμᾶς. 26
καὶ ὑμεῖς τὸ χρίσμα ὃ ἐλάβετε ἀπ' αὐτοῦ μένει ἐν ὑμῖν, καὶ 27
οὐ χρείαν ἔχετε ἵνα τις διδάσκῃ ὑμᾶς· ἀλλ' ὡς τὸ αὐτοῦ
χρίσμα διδάσκει ὑμᾶς περὶ πάντων, καὶ ἀληθές ἐστιν καὶ
οὐκ ἔστιν ψεῦδος,[2] καὶ καθὼς ἐδίδαξεν ὑμᾶς, μένετε ἐν αὐτῷ.
Καὶ νῦν, τεκνία, μένετε ἐν αὐτῷ, ἵνα ἐὰν φανερωθῇ σχῶμεν 28

[1] καὶ οἴδατε πάντα. [2] ὑμᾶς, ἀλλὰ τὸ . . . ψεῦδος·

παρρησίαν καὶ μὴ αἰσχυνθῶμεν ἀπ' αὐτοῦ ἐν τῇ παρουσίᾳ αὐτοῦ. ἐὰν εἰδῆτε ὅτι δίκαιός ἐστιν, γινώσκετε ὅτι[1] πᾶς ὁ ποιῶν τὴν δικαιοσύνην ἐξ αὐτοῦ γεγέννηται.

1 Ἴδετε ποταπὴν ἀγάπην δέδωκεν ἡμῖν ὁ πατὴρ ἵνα τέκνα θεοῦ κληθῶμεν, καί ἐσμεν. διὰ τοῦτο ὁ κόσμος οὐ γινώσκει
2 ἡμᾶς ὅτι οὐκ ἔγνω αὐτόν. Ἀγαπητοί, νῦν τέκνα θεοῦ ἐσμέν, καὶ οὔπω ἐφανερώθη τί ἐσόμεθα. οἴδαμεν ὅτι ἐὰν
3 φανερωθῇ ὅμοιοι αὐτῷ ἐσόμεθα, ὅτι ὀψόμεθα αὐτὸν καθώς ἐστιν. καὶ πᾶς ὁ ἔχων τὴν ἐλπίδα ταύτην ἐπ' αὐτῷ
4 ἁγνίζει ἑαυτὸν καθὼς ἐκεῖνος ἁγνός ἐστιν. Πᾶς ὁ ποιῶν
5 τὴν ἁμαρτίαν καὶ τὴν ἀνομίαν ποιεῖ, καὶ ἡ ἁμαρτία ἐστὶν ἡ ἀνομία. καὶ οἴδατε ὅτι ἐκεῖνος ἐφανερώθη ἵνα τὰς ἁμαρτίας
6 ἄρῃ, καὶ ἁμαρτία ἐν αὐτῷ οὐκ ἔστιν. πᾶς ὁ ἐν αὐτῷ μένων οὐχ ἁμαρτάνει· πᾶς ὁ ἁμαρτάνων οὐχ ἑώρακεν αὐτὸν οὐδὲ
7 ἔγνωκεν αὐτόν. Τεκνία, μηδεὶς πλανάτω ὑμᾶς· ὁ ποιῶν τὴν δικαιοσύνην δίκαιός ἐστιν, καθὼς ἐκεῖνος δίκαιός ἐστιν· ὁ
8 ποιῶν τὴν ἁμαρτίαν ἐκ τοῦ διαβόλου ἐστίν, ὅτι ἀπ' ἀρχῆς ὁ διάβολος ἁμαρτάνει. εἰς τοῦτο ἐφανερώθη ὁ υἱὸς τοῦ
9 θεοῦ ἵνα λύσῃ τὰ ἔργα τοῦ διαβόλου. Πᾶς ὁ γεγεννημένος ἐκ τοῦ θεοῦ ἁμαρτίαν οὐ ποιεῖ, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει, καὶ οὐ δύναται ἁμαρτάνειν, ὅτι ἐκ τοῦ θεοῦ
10 γεγέννηται. ἐν τούτῳ φανερά ἐστιν τὰ τέκνα τοῦ θεοῦ καὶ τὰ τέκνα τοῦ διαβόλου· πᾶς ὁ μὴ ποιῶν δικαιοσύνην οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, καὶ ὁ μὴ ἀγαπῶν τὸν ἀδελφὸν
11 αὐτοῦ. ὅτι αὕτη ἐστὶν ἡ ἀγγελία ἣν ἠκούσατε ἀπ' ἀρχῆς,
12 ἵνα ἀγαπῶμεν ἀλλήλους· οὐ καθὼς Καὶν ἐκ τοῦ πονηροῦ ἦν καὶ ἔσφαξεν τὸν ἀδελφὸν αὐτοῦ· καὶ χάριν τίνος ἔσφαξεν αὐτόν; ὅτι τὰ ἔργα αὐτοῦ πονηρὰ ἦν, τὰ δὲ τοῦ ἀδελφοῦ αὐτοῦ δίκαια.

13 Μὴ θαυμάζετε, ἀδελφοί, εἰ μισεῖ ὑμᾶς ὁ κόσμος.
14 ἡμεῖς οἴδαμεν ὅτι μεταβεβήκαμεν ἐκ τοῦ θανάτου εἰς τὴν

[1] καὶ.

ζωήν, ὅτι ἀγαπῶμεν τοὺς ἀδελφούς· ὁ μὴ ἀγαπῶν μένει ἐν
15 τῷ θανάτῳ. πᾶς ὁ μισῶν τὸν ἀδελφὸν αὐτοῦ ἀνθρωποκτόνος ἐστίν, καὶ οἴδατε ὅτι πᾶς ἀνθρωποκτόνος οὐκ ἔχει ζωὴν
16 αἰώνιον ἐν αὐτῷ μένουσαν. Ἐν τούτῳ ἐγνώκαμεν τὴν ἀγάπην, ὅτι ἐκεῖνος ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἔθηκεν· καὶ ἡμεῖς ὀφείλομεν ὑπὲρ τῶν ἀδελφῶν τὰς ψυχὰς θεῖναι.
17 ὃς δ' ἂν ἔχῃ τὸν βίον τοῦ κόσμου καὶ θεωρῇ τὸν ἀδελφὸν αὐτοῦ χρείαν ἔχοντα καὶ κλείσῃ τὰ σπλάγχνα αὐτοῦ ἀπ'
18 αὐτοῦ, πῶς ἡ ἀγάπη τοῦ θεοῦ μένει ἐν αὐτῷ; Τεκνία, μὴ ἀγαπῶμεν λόγῳ μηδὲ τῇ γλώσσῃ ἀλλὰ ἐν ἔργῳ καὶ
19 ἀληθείᾳ. Ἐν τούτῳ γνωσόμεθα ὅτι ἐκ τῆς ἀληθείας ἐσμέν,
20 καὶ ἔμπροσθεν αὐτοῦ πείσομεν τὴν καρδίαν ἡμῶν ὅτι ἐὰν καταγινώσκῃ ἡμῶν ἡ καρδία, ὅτι μείζων ἐστὶν ὁ θεὸς τῆς
21 καρδίας ἡμῶν καὶ γινώσκει πάντα. Ἀγαπητοί, ἐὰν ἡ
22 καρδία μὴ καταγινώσκῃ, παρρησίαν ἔχομεν πρὸς τὸν θεόν, καὶ ὃ ἂν αἰτῶμεν λαμβάνομεν ἀπ' αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν.
23 καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύσωμεν[1] τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ καὶ ἀγαπῶμεν ἀλλή-
24 λους, καθὼς ἔδωκεν ἐντολὴν ἡμῖν. καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν αὐτῷ· καὶ ἐν τούτῳ γινώσκομεν ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ πνεύματος οὗ ἡμῖν ἔδωκεν.

1 Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα εἰ ἐκ τοῦ θεοῦ ἐστίν, ὅτι πολλοὶ
2 ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν κόσμον. Ἐν τούτῳ γινώσκετε τὸ πνεῦμα τοῦ θεοῦ· πᾶν πνεῦμα ὃ ὁμολογεῖ
3 Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα[2] ἐκ τοῦ θεοῦ ἐστίν, καὶ πᾶν πνεῦμα ὃ μὴ ὁμολογεῖ[3] τὸν Ἰησοῦν ἐκ τοῦ θεοῦ οὐκ ἔστιν· καὶ τοῦτό ἐστιν τὸ τοῦ ἀντιχρίστου, ὃ ἀκηκόατε ὅτι
4 ἔρχεται, καὶ νῦν ἐν τῷ κόσμῳ ἐστὶν ἤδη. Ὑμεῖς ἐκ τοῦ θεοῦ ἐστέ, τεκνία, καὶ νενικήκατε αὐτούς, ὅτι μείζων ἐστὶν

[1] πιστεύωμεν. [2] ἐληλυθέναι. [3] λύει.

ὁ ἐν ὑμῖν ἢ ὁ ἐν τῷ κόσμῳ· αὐτοὶ ἐκ τοῦ κόσμου εἰσίν· διὰ 5
τοῦτο ἐκ τοῦ κόσμου λαλοῦσιν καὶ ὁ κόσμος αὐτῶν ἀκούει.
ἡμεῖς ἐκ τοῦ θεοῦ ἐσμέν· ὁ γινώσκων τὸν θεὸν ἀκούει ἡμῶν, 6
ὃς οὐκ ἔστιν ἐκ τοῦ θεοῦ οὐκ ἀκούει ἡμῶν. ἐκ τούτου
γινώσκομεν τὸ πνεῦμα τῆς ἀληθείας καὶ τὸ πνεῦμα τῆς
πλάνης.

Ἀγαπητοί, ἀγαπῶμεν ἀλλήλους, ὅτι ἡ ἀγάπη ἐκ τοῦ 7
θεοῦ ἐστίν, καὶ πᾶς ὁ ἀγαπῶν ἐκ τοῦ θεοῦ γεγέννηται καὶ
γινώσκει τὸν θεόν. ὁ μὴ ἀγαπῶν οὐκ ἔγνω τὸν θεόν, ὅτι 8
ὁ θεὸς ἀγάπη ἐστίν. ἐν τούτῳ ἐφανερώθη ἡ ἀγάπη τοῦ 9
θεοῦ ἐν ἡμῖν, ὅτι τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἀπέσταλκεν
ὁ θεὸς εἰς τὸν κόσμον ἵνα ζήσωμεν δι' αὐτοῦ. ἐν τούτῳ
ἐστὶν ἡ ἀγάπη, οὐχ ὅτι ἡμεῖς ἠγαπήκαμεν τὸν θεόν, ἀλλ' 10
ὅτι αὐτὸς ἠγάπησεν ἡμᾶς καὶ ἀπέστειλεν τὸν υἱὸν αὐτοῦ
ἱλασμὸν περὶ τῶν ἁμαρτιῶν ἡμῶν. Ἀγαπητοί, εἰ οὕτως ὁ 11
θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους
ἀγαπᾶν. θεὸν οὐδεὶς πώποτε τεθέαται· ἐὰν ἀγαπῶμεν 12
ἀλλήλους, ὁ θεὸς ἐν ἡμῖν μένει καὶ ἡ ἀγάπη αὐτοῦ τετελειω-
μένη ἐν ἡμῖν ἐστίν. ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ 13
μένομεν καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ
δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα καὶ μαρτυροῦμεν ὅτι ὁ 14
πατὴρ ἀπέσταλκεν τὸν υἱὸν σωτῆρα τοῦ κόσμου. ὃς ἐὰν 15
ὁμολογήσῃ ὅτι Ἰησοῦς [Χριστός] ἐστιν ὁ υἱὸς τοῦ θεοῦ, ὁ
θεὸς ἐν αὐτῷ μένει καὶ αὐτὸς ἐν τῷ θεῷ. Καὶ ἡμεῖς 16
ἐγνώκαμεν καὶ πεπιστεύκαμεν τὴν ἀγάπην ἣν ἔχει ὁ θεὸς
ἐν ἡμῖν. Ὁ θεὸς ἀγάπη ἐστίν, καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ
ἐν τῷ θεῷ μένει καὶ ὁ θεὸς ἐν αὐτῷ [μένει]. Ἐν τούτῳ 17
τετελείωται ἡ ἀγάπη μεθ' ἡμῶν, ἵνα παρρησίαν ἔχωμεν ἐν
τῇ ἡμέρᾳ τῆς κρίσεως, ὅτι καθὼς ἐκεῖνός ἐστιν καὶ ἡμεῖς ἐσμὲν
ἐν τῷ κόσμῳ τούτῳ. φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ, ἀλλ' 18
ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον, ὅτι ὁ φόβος κόλα-
σιν ἔχει, ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ.
Ἡμεῖς ἀγαπῶμεν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς. 19

20 ἐάν τις εἴπῃ ὅτι Ἀγαπῶ τὸν θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ
μισῇ, ψεύστης ἐστίν· ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν
αὐτοῦ ὃν ἑώρακεν, τὸν θεὸν ὃν οὐχ ἑώρακεν οὐ δύναται
21 ἀγαπᾶν. καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ
ἀγαπῶν τὸν θεὸν ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ.

1 Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστὶν ὁ χριστὸς ἐκ τοῦ
θεοῦ γεγέννηται, καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα
2 ἀγαπᾷ τὸν γεγεννημένον ἐξ αὐτοῦ. ἐν τούτῳ γινώσκομεν
ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ θεοῦ, ὅταν τὸν θεὸν ἀγαπῶμεν
3 καὶ τὰς ἐντολὰς αὐτοῦ ποιῶμεν· αὕτη γάρ ἐστιν ἡ ἀγάπη
τοῦ θεοῦ ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν, καὶ αἱ ἐντολαὶ
4 αὐτοῦ βαρεῖαι οὐκ εἰσίν, ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ
θεοῦ νικᾷ τὸν κόσμον. καὶ αὕτη ἐστὶν ἡ νίκη ἡ νικήσασα
5 τὸν κόσμον, ἡ πίστις ἡμῶν· τίς ἐστιν [δὲ] ὁ νικῶν τὸν
κόσμον εἰ μὴ ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστὶν ὁ υἱὸς τοῦ
6 θεοῦ; Οὗτός ἐστιν ὁ ἐλθὼν δι' ὕδατος καὶ αἵματος, Ἰησοῦς
Χριστός· οὐκ ἐν τῷ ὕδατι μόνον[1] ἀλλ' ἐν τῷ ὕδατι καὶ ἐν τῷ
αἵματι· καὶ τὸ πνεῦμά ἐστιν τὸ μαρτυροῦν ὅτι τὸ πνεῦμα
7 ἐστιν ἡ ἀλήθεια. ὅτι τρεῖς εἰσὶν οἱ μαρτυροῦντες, τὸ
8 πνεῦμα καὶ τὸ ὕδωρ καὶ τὸ αἷμα, καὶ οἱ τρεῖς εἰς τὸ ἕν εἰσιν.
9 εἰ τὴν μαρτυρίαν τῶν ἀνθρώπων λαμβάνομεν, ἡ μαρτυρία
τοῦ θεοῦ μείζων ἐστίν, ὅτι αὕτη ἐστὶν ἡ μαρτυρία τοῦ θεοῦ
10 ὅτι μεμαρτύρηκεν περὶ τοῦ υἱοῦ αὐτοῦ. ὁ πιστεύων εἰς τὸν
υἱὸν τοῦ θεοῦ ἔχει τὴν μαρτυρίαν ἐν αὐτῷ[2]· ὁ μὴ πιστεύων
τῷ θεῷ ψεύστην πεποίηκεν αὐτόν, ὅτι οὐ πεπίστευκεν εἰς
τὴν μαρτυρίαν ἣν μεμαρτύρηκεν ὁ θεὸς περὶ τοῦ υἱοῦ αὐτοῦ.
11 καὶ αὕτη ἐστὶν ἡ μαρτυρία, ὅτι ζωὴν αἰώνιον ἔδωκεν ὁ θεὸς
ἡμῖν, καὶ αὕτη ἡ ζωὴ ἐν τῷ υἱῷ αὐτοῦ ἐστίν. ὁ ἔχων τὸν
12 υἱὸν ἔχει τὴν ζωήν· ὁ μὴ ἔχων τὸν υἱὸν τοῦ θεοῦ τὴν ζωὴν
13 οὐκ ἔχει. Ταῦτα ἔγραψα ὑμῖν ἵνα εἰδῆτε ὅτι ζωὴν ἔχετε
αἰώνιον, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ.
14 καὶ αὕτη ἐστὶν ἡ παρρησία ἣν ἔχομεν πρὸς αὐτόν, ὅτι ἐάν

[1] μόνῳ. [2] αὐτῷ.

τι αἰτώμεθα κατὰ τὸ θέλημα αὐτοῦ ἀκούει ἡμῶν. καὶ ἐὰν 15
οἴδαμεν ὅτι ἀκούει ἡμῶν ὃ ἐὰν αἰτώμεθα, οἴδαμεν ὅτι
ἔχομεν τὰ αἰτήματα ἃ ᾐτήκαμεν ἀπ' αὐτοῦ. Ἐάν τις ἴδῃ 16
τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον,
αἰτήσει, καὶ δώσει αὐτῷ ζωήν, τοῖς ἁμαρτάνουσιν μὴ πρὸς
θάνατον. ἔστιν ἁμαρτία πρὸς θάνατον· οὐ περὶ ἐκείνης
λέγω ἵνα ἐρωτήσῃ. πᾶσα ἀδικία ἁμαρτία ἐστίν, καὶ 17
ἔστιν ἁμαρτία οὐ πρὸς θάνατον. Οἴδαμεν ὅτι πᾶς ὁ 18
γεγεννημένος ἐκ τοῦ θεοῦ οὐχ ἁμαρτάνει, ἀλλ' ὁ γεννηθεὶς
ἐκ τοῦ θεοῦ τηρεῖ αὐτόν, καὶ ὁ πονηρὸς οὐχ ἅπτεται αὐτοῦ.
οἴδαμεν ὅτι ἐκ τοῦ θεοῦ ἐσμέν, καὶ ὁ κόσμος ὅλος ἐν τῷ 19
πονηρῷ κεῖται. οἴδαμεν δὲ ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει, καὶ 20
δέδωκεν ἡμῖν διάνοιαν ἵνα γινώσκομεν τὸν ἀληθινόν· καί
ἐσμεν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ.
οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς καὶ ζωὴ αἰώνιος. Τεκνία, 21
φυλάξατε ἑαυτὰ ἀπὸ τῶν εἰδώλων.

馬太 5: 3-12 (Mat. 5: 3-12).

Μακαριοι **οἱ πτωχοὶ** τῷ πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ 3
βασιλεία τῶν οὐρανῶν.
μακάριοι **οἱ πενθοῦντες,** ὅτι αὐτοὶ **παρακληθήσονται.** 4
μακάριοι **οἱ πραεῖς,** ὅτι αὐτοὶ **κληρονομήσουσι τὴν γῆν.** 5
μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι 6
αὐτοὶ χορτασθήσονται.
μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται. 7
μακάριοι **οἱ καθαροὶ τῇ καρδίᾳ,** ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται. 8
μακάριοι οἱ εἰρηνοποιοί, ὅτι [αὐτοὶ] υἱοὶ θεοῦ κληθήσονται. 9
μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστὶν 10
ἡ βασιλεία τῶν οὐρανῶν.

11 μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσιν καὶ
εἴπωσιν πᾶν πονηρὸν καθ' ὑμῶν ψευδόμενοι ἕνεκεν
12 ἐμοῦ· χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν
πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτως γὰρ ἐδίωξαν τοὺς προφή-
τας τοὺς πρὸ ὑμῶν.

馬太 6 : 9-15 (Mat. 6 : 9-15).

9 Οὕτως οὖν προσεύχεσθε ὑμεῖς
Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς·
Ἁγιασθήτω τὸ ὄνομά σου
10 ἐλθάτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς·
11 Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον
δὸς ἡμῖν σήμερον·
12 καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ὀφειλέταις ἡμῶν·
13 καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.
14 Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν,
15 ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος· ἐὰν δὲ μὴ ἀφῆτε
τοῖς ἀνθρώποις [τὰ παραπτώματα αὐτῶν], οὐδὲ ὁ πατὴρ
ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν.

路加十五章全 (Luke : Chapter 15).

1 Ἦσαν δὲ αὐτῷ ἐγγίζοντες πάντες οἱ τελῶναι
2 καὶ οἱ ἁμαρτωλοὶ ἀκούειν αὐτοῦ. καὶ διεγόγγυζον οἵ τε
Φαρισαῖοι καὶ οἱ γραμματεῖς λέγοντες ὅτι Οὗτος ἁμαρτω-
3 λοὺς προσδέχεται καὶ συνεσθίει αὐτοῖς. εἶπεν δὲ προς

αὐτοὺς τὴν παραβολὴν ταύτην λέγων Τίς ἄνθρωπος 4
ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα καὶ ἀπολέσας ἐξ αὐτῶν ἓν
οὐ καταλείπει τὰ ἐνενήκοντα ἐννέα ἐν τῇ ἐρήμῳ καὶ
πορεύεται ἐπὶ τὸ ἀπολωλὸς ἕως εὕρῃ αὐτό; καὶ εὑρὼν 5
ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους αὐτοῦ χαίρων, καὶ ἐλθὼν εἰς τὸν 6
οἶκον συνκαλεῖ τοὺς φίλους καὶ τοὺς γείτονας, λέγων
αὐτοῖς Συνχάρητέ μοι ὅτι εὗρον τὸ πρόβατόν μου τὸ
ἀπολωλός. λέγω ὑμῖν ὅτι οὕτως χαρὰ ἐν τῷ οὐρανῷ 7
ἔσται ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι ἢ ἐπὶ ἐνενήκοντα
ἐννέα δικαίοις οἵτινες οὐ χρείαν ἔχουσιν μετανοίας. Ἢ τίς 8
γυνὴ δραχμὰς ἔχουσα δέκα, ἐὰν ἀπολέσῃ δραχμὴν μίαν,
οὐχὶ ἅπτει λύχνον καὶ σαροῖ τὴν οἰκίαν καὶ ζητεῖ ἐπιμελῶς
ἕως οὗ εὕρῃ; καὶ εὑροῦσα συνκαλεῖ τὰς φίλας καὶ γείτονας 9
λέγουσα Συνχάρητέ μοι ὅτι εὗρον τὴν δραχμὴν ἣν
ἀπώλεσα. οὕτως, λέγω ὑμῖν, γίνεται χαρὰ ἐνώπιον τῶν 10
ἀγγέλων τοῦ θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. Εἶπεν 11
δὲ Ἄνθρωπός τις εἶχεν δύο υἱούς. καὶ εἶπεν ὁ νεώτερος 12
αὐτῶν τῷ πατρί Πάτερ, δός μοι τὸ ἐπιβάλλον μέρος τῆς
οὐσίας· ὁ δὲ διεῖλεν αὐτοῖς τὸν βίον. καὶ μετ' οὐ πολλὰς 13
ἡμέρας συναγαγὼν πάντα[1] ὁ νεώτερος υἱὸς ἀπεδήμησεν εἰς
χώραν μακράν, καὶ ἐκεῖ διεσκόρπισεν τὴν οὐσίαν αὐτοῦ ζῶν
ἀσώτως. δαπανήσαντος δὲ αὐτοῦ πάντα ἐγένετο λιμὸς 14
ἰσχυρὰ κατὰ τὴν χώραν ἐκείνην, καὶ αὐτὸς ἤρξατο
ὑστερεῖσθαι. καὶ πορευθεὶς ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς 15
χώρας ἐκείνης, καὶ ἔπεμψεν αὐτὸν εἰς τοὺς ἀγροὺς αὐτοῦ
βόσκειν χοίρους· καὶ ἐπεθύμει χορτασθῆναι ἐκ τῶν 16
κερατίων ὧν ἤσθιον οἱ χοῖροι, καὶ οὐδεὶς ἐδίδου αὐτῷ. εἰς 17
ἑαυτὸν δὲ ἐλθὼν ἔφη Πόσοι μίσθιοι τοῦ πατρός μου
περισσεύονται ἄρτων, ἐγὼ δὲ λιμῷ ὧδε ἀπόλλυμαι·
ἀναστὰς πορεύσομαι πρὸς τὸν πατέρα μου καὶ ἐρῶ αὐτῷ 18
Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, οὐκέτι
εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν 19

[1] ἅπαντα.

20 μισθίων σου. Καὶ ἀναστὰς ἦλθεν πρὸς τὸν πατέρα ἑαυτοῦ.
ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ
καὶ ἐσπλαγχνίσθη καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν τράχηλον
21 αὐτοῦ καὶ κατεφίλησεν αὐτόν. εἶπεν δὲ ὁ υἱὸς αὐτῷ Πάτερ,
ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, οὐκέτι εἰμὶ ἄξιος
κληθῆναι υἱός σου [·ποίησόν με ὡς ἕνα τῶν μισθίων σου].
22 εἶπεν δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ Ταχὺ ἐξενέγ-
